# e07.14 Οἰδίπους 2

Λάιον μὲν οὖν θάπτει βασιλεὺς Πλαταιέων Δαμασίστρατος, τὴν δὲ βασιλείαν Κρέων ὁ ἀδελφὸς Ἰοκάστης παραλαμβάνει. ἔπειτα δὲ οὐ μικρὰ συμφορὰ κατέχει Θήβας. πέμπει γὰρ Ἥρα Σφίγγα, ἣ μητρὸς μὲν Ἐχίδνης ἐστὶ πατρὸς δὲ Τυφῶνος, ἔχει δὲ πρόσωπον μὲν γυναικός, στῆθος δὲ καὶ πόδας καὶ οὐρὰν λέοντος καὶ πτέρυγας ὄρνιθος. μανθάνουσα δὲ αἴνιγμα παρὰ Μουσῶν ἐπὶ τὸ Φίκιον ὄρος καθίζει, καὶ τοῦτο προτείνει Θηβαίοις. ἔστι δὲ τὸ αἴνιγμα· τί ἐστιν ὃ μίαν ἔχον φωνὴν τετράπουν καὶ δίπουν καὶ τρίπουν γίνεται· ἔξεστιν δὲ Θηβαίοις τηνικαῦτα ἀπαλλάττεσθαι τῆς Σφιγγὸς ἡνίκα τὸ αἴνιγμα λύουσι, καὶ συμβαίνοντες ζητοῦσιν τί τὸ λεγόμενόν ἐστιν· ἐπεὶ δὲ μὴ εὑρίσκουσιν, ἁρπάζουσα ἕνα καταβιβρώσκει. πολλοὶ δὲ ἀπολλύονται, καὶ τὸ τελευταῖον Αἵμων τοῦ Κρέοντος, κηρύττει οὖν Κρέων τῷ τὸ αἴνιγμα λύοντι καὶ τὴν βασιλείαν καὶ τὴν Λαΐου παρέχειν γυναῖκα. Οἰδίπους δὲ ἀκούων λύει τὸ αἴνιγμα, λέγων ὅτι τὸ ὑπὸ τῆς Σφιγγὸς λεγόμενον ἄνθρωπόν ἐστιν· τετράπουν γὰρ βρέφος ἐστὶ τοῖς τέτταρσιν ὀχούμενον κώλοις, ἀνὴρ δὲ δίπους ἐστί, γέρων δὲ τρίτον προσλαμβάνει πόδα τὸ βάκτρον. ἡ μὲν οὖν Σφὶγξ ἀπὸ τῆς ἀκροπόλεως ἑαυτὴν ῥίπτει, Οἰδίπους δὲ καὶ τὴν βασιλείαν παραλαμβάνει καὶ τὴν μητέρα γαμεῖ ἀγνοῶν, καὶ παῖδας τίκτει ἐξ αὐτῆς Πολυνείκη καὶ Ἐτεοκλέα, θυγατέρας δὲ Ἰσμήνην καὶ Ἀντιγόνην. ὕστερον δὲ φαίνεται ἃ τὸν Οἰδίποδα λανθάνει. Ἰοκάστη μὲν ἐξ ἀγχόνης ἑαυτὴν κρεμαννύει, Οἰδίπους δὲ τοὺς ὀφθαλμοὺς τυφλῶν ἐκ Θηβῶν φεύγει, ἀρὰς τοῖς παισὶ παρέχων, οἳ τῆς πόλεως αὐτὸν ἐκβαλλόμενον θεωροῦντες οὐκ ἐπαμύνουσιν. ἥκων δὲ σὺν Ἀντιγόνῃ τῆς Ἀττικῆς εἰς Κολωνόν, ἔνθα τὸ τῶν Εὐμενίδων ἐστὶ τέμενος, καθίζει ἱκέτης καὶ καθαίρεται ὑπὸ Θησέως, καὶ μετ᾽ οὐ πολὺν χρόνον ἀποθνῄσκει.